Ἐκκλησιαστικὸς Φάρος 5 (1910) 489-500

ΤΟΥ ΣΟΦΩΤΑΤΟΥ ΚΑΙ ΛΟΓΙΩΤΑΤΟΥ ΚΑΙ ΟΙΚΟΥΜΕΝΙΚΟΥ ΠΑΤΡΙΑΡΧΟΥ

ΚΥΡΟΥ ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΚΥΠΡΙΟΥ

ΕΠΙΣΤΟΛΑΙ*

ρπη') Τῇ αὐτῇ

Ὅτι μὲν ἐγὼ ἀπὸ τῆς ἐν πατρίδι παλαιᾶς συνηθείας φίλην ἐμαυτῷ τὰ συκάμινα βρῶσιν ἐπὰν ἐφεύρω ποιοῦμαι ἂν ἔξαρνος γένωμαι, πόρρω τοῦ ἀληθεύειν γενήσομαι· ὅτι δὲ ἃ πέμπεις ἐσθίειν βούλομαι μὲν καὶ ἡδέως ἂν ἤσθιον, οὐ δύναμαι δὲ οὐδ' ἂν ἐκβιασθείην, καὶ τοῦθ' ὡς ἀληθέστατα φθέγγομαι. Εἰσὶ μὲν ὄμφακες ἀκριβῶς, ἄβρωτα δηλονότι παντὶ κατὰ τὸ εἰκός· εἰ δέ τις λιχνευόμενος ἀπογεύοιτο, οὐκ εἰς καλὸν ἂν τὴν πεῖραν οὔτε τοῖς ὀδοῦσιν οὔτε τῷ στομάχῳ γνοίη τε γεγενημένην. Τί τοίνυν; ἢ παρὰ τῷ φυτῷ πλείονος ἀπολαύειν ἡλίου καὶ πεπαίνεσθαι συγχωρείτω τις, ἵνα καὶ τῇ τῶν ἀνθρώπων γεύσει δοκοίη τε κεχαρισμένον τὸ τοιοῦτον ἐκφέρειν, ἢ ψῆφον τιθέσθω μόνοις μὲν σκωλήκων τοῖς μεταξουργοῖς τὰ τοιάδε τῶν δένδρων τροφὴν ἀγαθὴν ἐκφύειν τὰ φύλλα, καρπὸν δὲ οὔτε τῷ ζώων ἑτέρῳ οὔτε δὴ τοῖς ἀνθρώποις προΐσχει, εἰ μή τις αἱρεῖται καὶ γομφίων καὶ σπλάγχνων πολεμίαν τροφὴν εἰσενέγκασθαι· κεφάλαιον τοῦ λόγου ἢ ἀμείνονα ταῦτα πέμπειν, ἢ μηδὲ πεμπτέαν εἶναι τὴν πρώτην, μή καί τις τῶν παρ'

* Συνέχεια ἐκ σελ. 452 καὶ τέλος.

ἡμῖν ἀπείρων τῷ ὁρωμένῳ θελχθεὶς τοῦ καρποῦ, καὶ τὴν χεῖρα προτείνας ἀτροφίαν ἀντὶ τροφῆς λάθῃ ἑαυτῷ προσφερόμενος· οὐ γὰρ οἶμαι μὴ καὶ εἰς δευτέραν ἡμέραν ἀπρόσιτον μεῖναι τὸν ἁψάμενον κἂν ἑνὸς καὶ ὡς βρῶσιν προσενεγκάμενον.

ρπθ΄) Τῇ αὐτῇ

Ἅπερ ὁρῶ πεμπόμενά σοι συκάμινα καὶ διά τινα φιλοτιμίαν πέμπεσθαι νόμιζε· ἀλλὰ δάνειόν ἐστι ταῦτα βιαίως ἐπιρριπτόμενον κατὰ τρόπον τῆς δυναστικῆς ἐμπορίας, οἳ μικρὰ καταβαλλόμενοι δοκοῦσι μὲν τοὺς τῶν ἀθλίων γεωργῶν ὠνεῖσθαι καρπούς, ὠνοῦνται δὲ οὐδαμῶς, μηθ᾽ ἑκόντων ἐκείνων τὸ καταβληθὲν δεχομένων, ὅτι μὴ πᾶσα ἀνάγκη μήτ᾽ αὐτῶν τούτων ἀναιρουμένων ὅσον τὸ νόμισμα ἄξιον· ἔστι δ᾽ ἐνταυτῷ καί τις διδασκαλία· πῶς δὲ διδασκαλία; ἵνα τὰ μετὰ μικρὸν πέμπεσθαι μέλλοντα παρὰ σοῦ πρὸς ἡμᾶς—πέμψεις δὲ οἶδα ὥσπερ τὸ προϊὸν ἔτος, οὕτω δὴ καὶ τὸ νῦν ἐστὼς—εἴη ἔχοντα κατὰ ταῦτα· ἐπέμπετο γὰρ τότε, εἰ μέμνησαι, ἄωρά τινα ὀδοῦσιν ὁμοῦ καὶ στομάχῳ πολέμια, ὥστε καὶ τοὺς μὲν πρὸς τὸ τέμνειν δευτέραν τροφὴν ἀργούς, τὸν δὲ ὀξώδη καὶ ψυχρὸν [εἰρ]γάζετο καὶ οἷον οἰκονομεῖν σιτία ἢ προσῆκε στομάχῳ μὴ δύνασθαι· ἀλλ᾽ ἅ γε νῦν πέμψεις, ὡραίως ἕξει καὶ κατὰ ταῦτα, ὡς ἐκ τοῦ καρποῦ λυμανθῆναι συμβῆναι τῶν εἰρημένων οὐδέτερον. Ἀλλ᾽ ἐπειδή περ ἀκήκοας τί ταῦτα πεμπόμενα βούλεται, περὶ τῆς ἐν καιρῷ ἀποτίσεως, ὡς μὲν φιλότιμος ἔσται, ὡς δ᾽ ἐπίμωμον οὐδὲν ἔχουσα διὰ τὴν ἀωρίαν σοὶ τοῦ λοιποῦ μελήσει.

ρϟ΄) Τοῦ ἁγιωτάτου πατριάρχου

Εἰ μὲν ἐκ τῆς ἐντεῦθεν ψήφου ἐβεβαιοῦτο παρὰ τῷ ἀδεκάστῳ κριτῇ καλῶς ἀρέσκειν ἀνθρώποις, τίς εἶχε σπουδὴν μαρτυρίαν τὴν ἔνθεν δόξαν εἰς πίστιν τοῦ μέλλοντος ἐπαγόμενος καὶ ἀνεύθυνος ἀποδειχθήσεσθαι μέλλων, ἐξ ὧν συνέστη παρὰ

τῶν ἐνθάδε κριτῶν· εἰ δὲ σχολάζει σχῆμα καὶ ἀποδοχὴ καὶ δόξα τῶν ἐν τῷ παρόντι ψηφιζομένων τὰ καθ' ἡμᾶς, γυμναὶ δὲ τῶν πεπραγμένων καὶ νενοημένων παρίστανται εἰκόνες σαφεῖς ἔλεγχοι φαύλων καὶ ἀστείων ἐνθυμήσεων καὶ ἔργων γινόμεναι καὶ κρινόμεναι οὐκ ἀφ' ὧν ἔδοξε τοῖς πολλοῖς, ἀλλ' ἀφ' ὧν αὐτὴ συνίστησιν ἡ ἀλήθεια, εἰκαῖόν τι καὶ μάταιον ἀληθῶς ἐπιτήδευμα τὸ πείθειν τούτους ἐθέλειν ὅπως ἔχοι τὰ ἡμέτερα· ὧν ἡ πληροφορία οὐδὲν ἡμᾶς εἰς τὴν ἄνω δίκην ὀνίνησι, τὰ ὄντα βλέπομεν.

ϱϟα') Τινὶ τῶν ἀρχιερέων

Ὡς διετέθησαν οἱ πολεμεῖν ἀεὶ τῇ Ἐκκλησίᾳ καὶ τῇ καταστάσει τῶν πραγμάτων βουλόμενοι, καὶ ὡς αὔξει καθ' ἑκάστην ἐκ τῆς τούτων ἐπηρείας τὰ σφάλματα, περιττὸν ἴσως ἐν τοῖς νῦν διηγεῖσθαι· ἐπεὶ μηδὲ πλέον ἂν εἰπεῖν δυνησόμεθα τῶν ἐγνωσμένων ἀκριβῶς τῇ σῇ ἱερότητι, ὅσα τε δρῶσι δηλαδὴ οἱ τῆς Ἐκκλησίας οὗτοι σπαράκται, καὶ ὡς πολὺς ἐντεῦθεν τοῖς ἀφελεστέροις τῶν ἀνθρώπων ὁ κίνδυνος· δι' ἃ καὶ ἀπαραίτητος ἡ χρεία τῆς ὑμῶν συνελεύσεως, ὡς ἂν ἀντιτάξησθε γενναίως τοῖς οὕτω θορυβεῖν τὴν Ἐκκλησίαν παντοίαν ποιουμένοις σπουδήν, καὶ καλῶς σὺν βοηθείᾳ Θεοῦ τὰς μηχανὰς τοῦ πονηροῦ διαλύσησθε· καὶ μᾶλλον ὅσοι μὴ μόνον τοῖς τῶν θρόνων βαθμοῖς διαφέρετε τῶν ἄλλων καὶ ὑπερέχετε, ἀλλὰ καὶ σὺν τῷ κόσμῳ τῆς ἀρετῆς καὶ τὴν ἐκ τῶν λόγων πεπλουτήκατε δύναμιν. Τοιγαροῦν μετακαλούμεθα τὴν σὴν ἱερότητα, ἵνα ἐνδημήσαις τῇ βασιλευούσῃ ταύτῃ τῶν πόλεων· ἐλεύσονται γὰρ καὶ οἱ λοιποὶ τῶν ἱερωτάτων ἀρχιερέων.

ϱϟβ') Τῷ Μελιτινιώτῃ[1]

Δέσποτά μου καὶ ἀδελφέ, τοῦτο μὲν διὰ τὸ τοῦ ἀξιώμα-

[1]) Αἱ ἐπιστ. ϱϟб-ϱϟϛ' εὕρηνται μόνον ἐν τῷ κώδ. Β, τούτου δ' ἕνεκα ἐτέθησαν μετὰ τὰς ἐπιστολὰς τὰς ἐν τῷ Α περιεχομένας.

τος ὑψηλόν, τοῦτο δὲ διὰ τὴν ἐκ διαθέσεως συγκατάβασιν, πόσα ποτὲ οἴει καμεῖν με πειρώμενον τὴν βίβλον λαβεῖν, ἵνα μὴ τὸν φίλον σε παρακρούσωμαι· ὀλίγα οὔμενουν μὰ τὰς τῶν Πατέρων εὐχάς, οὐδαμῶς ὀλίγα· πάμπλειστα δέ, καὶ ὅσα οὐκ ἂν εἴη βουλομένῳ μοι γνωρίζειν δι' ἐπιστολῆς εὐπετές. Τὰς γὰρ ἀνανεύσεις τὰς ἐπὶ τὴν βίβλον τοῦ ἀνδρός, καὶ τὴν σύμπτωσιν τῶν ὀφρύων, καὶ οὓς ἀνέσπα μετὰ σφοδρότητος λόγους, καὶ τὰς ἀποπηδήσεις, καὶ τἄλλα ὅσα λέγων καὶ πράττων ἦν πολλῇ κεχρημένος τῇ σοβαρότητι, ὥστε μου ἄπρακτον δεῖξαι τὴν αἴτησιν, πῶς ἄν τις ἐπιστέλλων καὶ μέτρα τηρεῖν ἐπιστολῆς προαιρούμενος, γνωρίσαι ἔχῃ ἐξ ἱκανοῦ; πολλοῦ γε καὶ δεῖ· τὰς ἐξ ἐμοῦ παρακλήσεις, τὰς παρὰ τὸ δέον ἀξιώσεις, τὰ σὺν ἱλαρότητι προσφθέγματα, τοὺς ἱκετηρίους λόγους, τὰ ἐπαγωγὰ προσφωνήματα, ὅσα ἡμῖν ἐξ ὧν οἶδα χαίρειν ἐκεῖνον παρεσχεδιάσθη, ὥσθ' ὑπαγαγέσθαι ξυνηθῆναι τὸν δύσκολον, παρείσθω ταῦτα, ὅτι μηδὲ τούτων καιρός· τοσοῦτον δ' ὅμως ῥητέον νυνί· ἐπειδὴ καὶ πέτρα ρανίδι κοιλαίνεται, εἴπερ ἐκείνη ἐνδελεχέστερον κάτεισι, κἀγὼ ὑπηγαγόμην τὸν ἄνδρα συχνοὺς καταχέειν τοὺς λόγους· οὐδὲ γὰρ οὐδενὸς ἐφεισάμην, ὅτι οὐδὲ ἔδει σοῦ γε χάριν σπουδάζοντι, τῶν ὅσα ἦν ποιῆσαι εἰκός. Ἐκίνησα οὖν τὰ ἐμαυτοῦ πάντα, ὅσα τε εἶχον πρῶτον συνερανίσας, καὶ ὅσα παρεφεῦρον νυνί, καὶ πείσας ἔχω τὸν ἀδαμάντινον· οὕτω γὰρ οἶμαι πρέπον τὸν καθ' ὑπερβολὴν ἀμείλικτον ὀνομάζεσθαι· τὴν βίβλον δὲ λαβὼν ὑπὲρ ἧς καὶ ὁ τοσοῦτος ἀγών, ἀπολύω πρός σέ· σὺ δὲ δεξάμενος ὄναιο τὰ μεγάλα, πᾶν ὅ,τι κάλλιστον ἐκεῖθεν ὑπολαβὼν καὶ τῷ πίνακι ἐγγράψας τῆς ἑαυτοῦ ψυχῆς· ἡμῖν δὲ μένοις φίλος τὸν ἅπαντα χρόνον, μὴ μόνον μηδὲν ἐνδιδοὺς τῆς ἀγάπης, ἀλλὰ καὶ ὅσον πλεῖστόν ἐστιν αὔξων ταύτην καὶ κινῶν πρὸς ἐπίδοσιν.

ρηγ') *Τῷ αὐτῷ*

Ἐμοὶ φίλος ἀνὴρ οὐ μόνον ὅστις αὐτὸς ἀγαθὸς ὢν τύχῃ τοὺς τρόπους, ἀλλὰ καὶ ὁ τοὺς ἀγαθοὺς ἢ δοκοῦντας ἀποδεχό-

μενος· σὲ γοῦν ἀμφότερα ταῦτα δεικνύναι ἔχοντα, ἀσπάζομαί τε καὶ ἴσον τιμῶ ἐμῇ κεφαλῇ· καὶ γὰρ τρόπων χρηστῶν, ἀπέστω δὲ κολακεία, ἱκανῶς ἔχεις· καὶ εἴπου τις χρηστὸς ὀνομάζεται, θαυμαστὸς παρὰ σοί. Τοιγαροῦν ἀδικοίην ἂν σε οὕτως ἐρωτικῶς ἔχοντα ἀνδρῶν ἀγαθῶν, ἂν μὴ μηνύσω σοι· μάλιστα δὲ γνοίης ἄνδρα δι' ἐμοῦ, φίλον μὲν Θεῷ, φίλον δὲ καὶ ἀνθρώποις, οἷς ἂν ποτε γνωρισθῇ· ὁ γάρ τοι ἐκείνου τρόπος πείθει τοὺς πάντας, ὡς ἔπος εἰπεῖν, φίλον ἡγεῖσθαι τὸν ἄνδρα· τίς δὲ ὁ ἀνήρ, ὃν περὶ πλείονος ποιοῦμάι εἰδέναι καὶ σέ· οὗτος ἐκεῖνος ὁ τὴν καλὴν δημιουργήσας ἐπιστολήν, ὃν ἐξ ἀκοῆς καὶ τῶν ἔργων ἔχεις εἰδὼς καὶ αὐτὸς νὴ τὰς εὐχὰς τῶν Πατέρων, πλείστης ἀγαπήσεως δίκαιος· οὗτος ἐπιστὰς ἐκ τῆς ἡσυχίας τῇ πόλει καὶ συμφορὰς ἐξ ἐπηρείας τοῦ ἐχθροῦ πειραθείς, βούλεται αὖθις ἀναλῦσαι περὶ τὰ φίλα τῆς ἡσυχίας χωρία, ἢ τὰ τῆς ἀρετῆς ἐργαστήρια εἰπεῖν οἰκειότερον· οὐ γὰρ ἔτι φέρει τὴν ἐνταῦθα διατριβήν, καὶ δυσχεραίνει τοὺς ἀστικοὺς θορύβους, οὐδὲν ἧττον ἢ ὅσα χερσαῖα τῶν ζώων τὴν ἐν ὕδασι διαγωγήν. Σὺ δὲ οὐχ ἑώρακας τοῦτον, οὐδὲ ἦλθες εἰς λόγους τῷ ἀνδρί, καὶ ταῦτα πολλὰ περὶ αὐτοῦ ἀκηκοὼς καὶ ἐπιθυμήσας πολλὰ συγγενέσθαι· ἐγὼ δὲ ἀνιῶμαι, εἰ σύ γε τοῦ τοιούτου μείνῃς ἀθέατος· ἓν μέν, ὅτι φίλον ὄντα σε οὐδενὸς βούλομαι τῶν καλῶν ἀπολείπεσθαι· δεύτερον δὲ μετὰ τοῦτο, μήπως νωθρείας μετόπισθεν ἔγκλημα οἴσομαι· γνώριμον μέν σοι ποιήσας ἐξ ὀνόματος τὸν ἄνδρα, δείξας δὲ μηδαμῶς· κατ' ἴσον ποιῶν ὡς εἰ διψῶντι περὶ πηγῆς διηγούμην ἐγγυτάτω που οὔσης, καὶ μᾶλλον καλὸν τῇ γεύσει προβαλλομένης τὸ νᾶμα, δύναμιν δ' ἔχων δεῖξαι, οὐκ ἔδειξα, οὐδὲ μέχρι τοῦ τόπου προηγησάμην. Οὐκοῦν ἵνα καταβάλω τὴν τῆς ῥᾳθυμίας γραφήν, καὶ σὺ ἄνδρα ἴδῃς χρηστὸν καὶ δι' ἑκατέρου ἑκάτερον θεραπεύσωμεν, δεῖν οἶμαι τὴν αὔριον παρ' ἐκεῖνον ἀμφοτέρους φοιτῆσαι, καὶ τὴν ἐνθένδε φθάσαι ἀποδημίαν τοῦ ἀνδρός, ἔστω οὕτως, εἰ καὶ σοὶ βουλητόν· καὶ κατὰ τὰς ἑσπερινὰς τῆς αὔριον ὥρας συνελθόντες ἐπιστῶμεν ὅπου ἐκεῖνος· τούτου δὴ χάριν καὶ τὴν πρὸς σὲ σήμερον ἄφιξιν ἀνεβα-

λόμην, καὶ τὴν χθὲς ὑπόσχεσιν οὐκ ἐπλήρωσα, ἱκανὸν ἡγησάμενος, εἰ κατὰ τὸ τῷ Θεῷ δοκοῦν συγγένωμαί σοι τὴν αὔριον.

ρκδ') Τῷ Νεοκαισαρείτῃ

Εἰ δὲ καὶ πρὸς πάντας τοὺς ἄλλους ἐξεῖναί σοι φῂς τοῖς λόγοις χρῆσθαι κατ' ἐξουσίαν, ὅπερ οὐδὲ τοῦτό ἐστι πρὸς λελογισμένων ἀνθρώπων, ἀλλ' οὐ δήπου καὶ πρὸς ἐμὲ διδάσκαλον ὄντα σόν, κἀκπαντὸς τρόπου δικαίου εἰλήφοτα τὸ δύνασθαί σε εὐθύνειν· ἀνθότου δὲ ταῦτα; τὴν χθὲς ἦλθες πρὸς ἡμᾶς· ἀντὶ τίνος οὐκ οἶδα· καὶ τὴν ἐπιστολὴν λαβεῖν ἐπειρῶ καὶ ἱκέτευες· τί ἂν λέγοιμι ὅσα αὐτὸς εἶπας; ἱκέτευες δ' αὖ· ἐγὼ δὲ οὐκ ἐδίδουν, οὐδὲ προσεῖχον ὅλως, τὸ μέλλον ὡσανεὶ οἷον ἐκβήσεται προγινώσκων· ἐπεὶ δ' οὐκ ἀφίεις, ἀλλ' ἔτι μᾶλλον προσέκεισο, τὴν αἴτησιν ἅμα καὶ τὴν δέησιν ἐπιτείνων, ἐνέδων καὶ ὑπεῖξα, καὶ τὴν ἐπιστολὴν ἐνεχείρισα· οὐγ γὰρ ᾤμην καλὸν παραβλέψαι σε μέχρι τέλους, ὁμιλητὴν λέγοντα εἶναι ἐμόν, καί με γεννήτορα ἐν λόγοις ἔχειν αὐχοῦντα. Ἐνεχείρισα δ' ὅμως οὐ πρότερον ἢ μεγάλας παρὰ σοῦ λαβεῖν ὑποσχέσεις, ὧν κεφάλαιον ἦν τὴν αὔριον αὐτίκα πρὸς σὲ ἥξειν, καὶ τὴν ἐπιστολὴν ἅμα ἡλίῳ ἀνίσχοντι κομιεῖν· ἀλλὰ σύ γε λαβὼν καὶ ἀπιὼν οἴκαδε κάθησαι ἡσυχάζων ἐπὶ τρίτην ἤδη καὶ τετάρτην ἡμέραν· ἄδηλον τίνος ἄλλου χάριν, εἰ μὴ διὰ νωθρείαν καὶ πάρεσιν ἑκούσιον καὶ ἀκινησίαν ψυχῆς· οὐ μὴν ἀλλὰ καὶ ἐπὶ πλέον ἡσυχάσεις αἰσχυνόμενος, ὡς ἐγώ μοι δοκῶ, συνόλως φανήσεσθαι πρὸς οὓς ψευδόμενος ἦλως· γελᾷς; παιδιὰ ταῦτα μειράκιον καὶ γέλωτες, καὶ ἀπάγχῃ γελῶν; ὅμως δ' οὖν εὖ ἔχει· ἔστω ταῦτα· μάθε μηδὲν ὑγιὲς λέγειν ἕως ἔτι ἁπαλὸς εἶ, καὶ πρὸς ἀνάληψιν μαθημάτων ἐπιτηδειότερος, ἵν' εἰς ἕξιν προϊόντι τῷ χρόνῳ γένοιο τοῦ καλοῦ τούτου· κἂν εἴ τις ἐπιτιμᾷ καὶ σκώπτῃ, ὁ αὐτὸς μένων ἀλογίστως ἔχε, καὶ γέλωτα ὑπ' ἀναισθησίας τοὺς λόγους ἡγοῦ· ἀλλὰ μηδὲν φροντίσῃς. Ἐγώ σε, ἐπειδὴ καὶ ἐφεῖταί μοι, μαστιγώσω μάλα σφοδρῶς ἐρρωμένῃ τῇ δεξιᾷ, καὶ πείσω καὶ πρὸς

τοὺς ἄλλους μὲν τῶν ἀνθρώπων ὁμιλοῦντα, μὴ τὴν ἀλήθειαν ἐὰν χαίροντα πόρρω ἀποπλανᾶσθαι· πολλῷ δὲ πρότερον, εἴπερ καὶ πρὸς ἐμὲ διαλέγῃ, ὡς ἂν μὴ παιδεύειν σε λαχὼν εὐθύνας ὑπέχω αὐτὸς ὑπὲρ τῆς εἰς ἀλήθειαν παρανομίας σου· οὐ γὰρ ὅστις ἀφίξεταί σου εἰς πεῖραν τοιούτου, σὲ μὲν αἰτιάσεται, ἐμὲ δὲ τῆς αἰτίας ἀφήσει· ἀλλὰ τὰ πολλὰ καὶ μεγάλα καὶ πρῶτα ἐμέ· σὲ δὲ ἢ οὐδόλως ἀξιώσει μέμφεσθαι, ἢ εἰ καὶ τὴν ἀρχὴν ἀξιώσει, ἀλλ᾽ ὀλίγα· πλὴν οὐδὲν λογίζομαι πρὸς τὰς τοῦ παιδευτοῦ λοιδορίας.

ρ'ηε') Τινὶ τῶν ὁμιλητῶν

Σὺ βραδύνεις ἔρχεσθαι, ἐφ᾽ οἷς ὁ Κύριος ἡμῶν εἰρήκει, ὥστε θαυμάζειν ἐμέ· καὶ τὸ μὲν αἴτιον ὅ,τι πότ᾽ ἐστιν, ἀκριβέστερον εἰδείης ἂν αὐτός· ὅσον δ᾽ ἐγὼ καταλαμβάνω ἀπομαντευόμενος, ὅτι οὐχ᾽ ἱκανοῦμεν τάχα πρὸς διδασκαλίαν τὴν σήν· ἀλλ᾽ εἰ τοῦτο καὶ παρὰ τοῦτο οὐδέν, ἔδει σε καὶ ἡμᾶς ἀφρόντιδας ὅσον τὸ ἐπὶ σοὶ ποιῆσαι, καὶ μὴ οὕτως ἐὰν ἐθέλειν καθ᾽ ἡμέραν διακενῆς τὴν σὴν παρουσίαν ἐλπίζειν· ἐπειδὴ σοῦ μὲν λέγοντος καὶ ἔρχεσθαι οὐκ ἀπαναινομένου, ἡμεῖς προσδοκῶμεν τὴν ἄφιξιν, προσδοκῶντες δὲ σιγῶμεν, ὅτι μηδ᾽ ὁ προσδοκώμενος ἐνδημεῖς· οὕτω δὲ σιγῆς ἔχουσιν ἐκ τῆς κενῆς ἐλπίδος, ἣν ἔχομεν ἐπὶ σοὶ καθ᾽ ἡμέραν, ὁ μὲν χρόνος σφοδρότερον παραρρεῖ φύσιν ἔχων τοιαύτην, τὸ δὲ προκατηργημένον ἡμῖν ἔργον ἀτέλεστον ὁρᾶται καὶ μηδεμίαν λαμβάνον ἐπίδοσιν. Πρὸς τῶν φίλων γοῦν σοι λόγων, πρὸς τῆς φιλοσοφίας ἣν μέτει, πρὸς τῶν ὅσα σοι προσφιλῆ, ἕλου δυοῖν θάτερον· ἢ βάδιζε, μέλλων βαδίζειν πρὸς ἡμᾶς συνεχέστερον, ὅπως μὴ τὸν τοσοῦτον ματαιάζωμεν χρόνον, ἢ φανερῶς, ἐπεὶ οὔ τι δέος ἔπεστιν, ἵνα σοι ἐκ τῆς Καλλιόπης εἴπω λαβών, τὰς ἐνταῦθα φερούσας ἀπόειπε, καὶ ἡμᾶς τῶν ἀνὰ χεῖρας ἔχεσθαι παραχώρει μερίμνης ἁπάσης ἐκτός· μαθητῶν ἡμεῖς πλήθεσιν οὐ φιλοτιμούμεθα· παραχωροῦμεν δὲ τῆς ἐντεῦθεν φιλοτιμίας τῷ βουλομένῳ παντί· ἡμῖν δ᾽

ἀγαπητὸν καὶ εἰ μηδένα ποτὲ μαθητῶν εἴημεν πεπλουτηκότες, μόνον εἰ καὶ ἄλλως ἦν καλῶς ἀναπλήσειν τὸν βίον· ἐπεὶ δ' ἔστιν ὁμολογουμένως, χαιρόντων ὅσοι μαθαταί· ἐμοὶ γὰρ οὐ σχολὴ τούτοις προσέχειν τὸν νοῦν.

ρϛστ') (ἀνεπίγραφος)

Ἀδελφὲ τιμιώτατε· εἰδέναι σου χρὴ τὴν εὐλάβειαν, ὡς ἅμα τε τὴν πρότριτα τὰ βραχέα ἐκεῖνα ἐθεασάμην καὶ ἐδεξάμην ἰχθύδια, ἅπερ ἐγὼ μὲν ᾤμην προθυμίαν ἐπὶ τὸν κανόνα καὶ διέγερσιν εἶναι, ὁ δὲ πέμψας σὺ οὐδὲ τοῦτο διετείνου, ἀλλ' ἁπλῶς ἀποστολὴν οὔμενουν, καθ' ἕτερον δήτινα σκοπόν, ἐκ δὲ μόνης ἀγάπης πεμφθεῖσαν, καὶ προθυμίας οὐκ οἶδ' ὅπως παραχρῆμα μεγαλοποιητικῆς πλησθείς, τῇ τε τοῦ κανόνος ἐπιθέμενος ἐργασίᾳ εἰς τέλος τοῦτον σὺν εὐκλείᾳ, Θεοῦ διδόντος, ἐξήνεγκα· κἀγὼ μὲν τὸ ἐμὸν ἔργον ἤδη περάνας ἔχω· σὺ δὲ τί μέλλεις καὶ οὐ μιμνήσκῃ τῶν συγκειμένων; ἢ οὐκ οἶδας ὡς οὐχ ἑνός τινος χρέους, ἀλλ' ὅλων εἶ τριῶν ὀφειλέτης· τό γε γὰρ ἡμῖν προδιεγερτικὸν δῶρον, ὃ καὶ ἐχρῆν πρὸ τοῦ δώρου κατὰ τὴν ἑαυτοῦ κλῆσιν ἐλθεῖν, οὐχ ἧκεν· ὥστε καὶ εἰ μὴ ἀγαπητικὴ προειλήφει ἐλθοῦσα ἀποστολή, κἂν ἔτι νῦν ἀκανόνιστος καὶ ἀμελώδητος ὁ πολὺς ἐν μάρτυσιν ἔμενε Χριστοφόρος· ἥ τ' ἐπὶ τῷ πόνῳ μισθοῦ λόγον ἔχουσα δόσις ὀφείλεται. Καὶ σύ γε φιλαλήθης ὢν ἐρεῖς ὡς ὀφείλεται· εἶτ', ὦ πρὸς Θεοῦ, ψιλὸς ἐμοὶ μόνῳ καὶ ξηρὸς ὑπὲρ τοῦ κανόνος ἥξει μισθός, καὶ οὐ σὺν αὐτῷ τι καὶ ἐπιμίσθιον ἕψεται; ἀσυμφώνητος μέν τις δόσις, εἰωθυῖα δ' ὅμως δίδοσθαι, ἧς οὐδὲ τοὺς χειρωνακτικοὺς καὶ βαναύσους τὴν τέχνην ἀποστελοῦσιν οἱ αὐτοῖς ἐργάζεσθαι ἐπιτάττοντες· καὶ ποῦ δίκαιον τοσοῦτον ἡμᾶς κάτω βαίνειν ἐκείνων, λογικὴν καὶ ταῦτα προστησαμένους τὴν τέχνην; οὐκ ἄν, οἶμαι, δόξωσι λόγῳ παρὰ τὴν κρίσιν οἱ οἴκτῳ κρίνοντες χρώμενοι· ὥστε τρία γ' ἔστιν, ἐνταῦθα γὰρ τὸ τῆς τριλογίας, ἤπερ ἐν τοῖς πάλαι τῶν λόγων ἀγῶσι τὸ τῆς δευτερολογίας ἀναγκαιότερον, τρία τὰ κεχρεω-

στημένα· τὸ προμίσθιον, ὁ μισθός, καὶ τὸ ἐπὶ τούτοις διδόμενον· ὃ διὰ τὸ προῖκα καὶ φιλοτίμως δίδοσθαι, φιλοτιμία καὶ αὐτὸ κεκράτηκε λέγεσθαι. Ἀτὰρ σύ, καί μοι σύγγνωθι κἂν ταῖς παιδιαῖς ἀκριβολογουμένῳ, καί πως σπουδάζειν κἀνταῦθα δοκοῦντι, μὴ τὸ ἓν τρία ποιήσας τῇ διαιρέσει, ἐξ ἀριθμοῦ μόνον, καὶ οὐ τῶν πραγμάτων τὸ δέον οἰηθῇς ἡμῖν ἐκπληροῦν· ἀλλ' εἴπερ ἀνάγκη συστέλλειν, τὰ πράγματα πληθύνας σύστελλε τὸν ἀριθμόν, τοῦτ' εἰδὼς ὡς πρὸς ἄνθρωπόν σοι τὸ χρέος, τέχνην τὸ ἐπαινεῖν δύνασθαι ὅν τινα θυμὸς ἀνοίσει, ἵνα μεταξὺ ποιητικῶς εἴπω, πεποιημένον. Εἰ δὲ τοῦτο καὶ τοὐναντίον δήπου· ὁ γὰρ αὐτός φασιν ἰατρὸς τὰ σώζοντα εἰδώς, ἅμα καὶ τ' ἀναιροῦντα ἐπίσταται· ὥστε εἰ μή σε ἐπαίνων ἔρως πρὸς τῷ δικαίῳ καθέξει, ἀλλά γε ψόγου δέος, καὶ τεχνικοῦ ψόγου, πρὸς τοῦτο ἐπιστρεφέτω.

ρϞζ') Τῷ Μελιτινιώτῃ

Πάσχω δικαίως· ὑπομένω οὐδαμῶς· τί τοῦτο ὅπερ οἶδας; τὸ τοῦ προσώπου πάθος ἢ μᾶλλον εἰπεῖν τὸ δεινόν, τὸ ἐκ τῶν ἄνωθεν τῆς κεφαλῆς κατερχόμενον, τοῦτο δὴ κάτεισι νυνὶ συχνῶς μᾶλλον καὶ ἐπωδύνως ἤπερ εἰώθει· ἐγὼ δὲ ἀμηχάνως ἔχων ὅτι δὴ πράξαντα ἢ νοήσαντα βοηθεῖν ἑαυτῷ, κάθημαι ἀδημονῶν· σκυθρωπάζω δὲ οὐ τοῦ αἴσχους ἕνεκα, ὅπερ ἐντεῦθεν συμβαίνει, τούτου γὰρ μείων ὁ λόγος ἐμοί, ἀλλὰ τὸν κίνδυνον δεδιὼς ὅσος ἐντεῦθεν πολλοῖς ὑφορᾶται, καθὰ καὶ λεγόντων ἐστὶν ἀκούειν τῶν πολλὰ μὲν φιλοσοφούντων ἢ θορυβούντων εἰπεῖν οἰκειότερον, οὐδὲν δ' ὅμως πρὸς θεραπείαν ἐπινοούντων· πρώην μὲν γὰρ ἔπασχον· καὶ ἦν ἡ καταρροή· οὕτως δὲ πλὴν οὐδαμῶς, οὐδ' ὥσπερ δρῶμαι πάσχων νυνί· ἀλλ' ἵνα σοι ὄντι μοι συλλυπουμένῳ ἀκριβέστερον ἐξείπω τὸ πᾶν, χρὴ γὰρ κατ' Αἰσχύλον παρ' ὧν ἐστι κλυόντων ἑλκύειν δάκρυ, καὶ τὴν διήγησιν πειρᾶσθαι συνείρειν τῶν οἰκείων παθῶν· ἦν ὅτε ὁλόκληρον ἠνύετο ἔτος, καὶ τὸ τοιοῦτον κακὸν ἐπεὶ συνέβη μοι τὴν

ἀρχήν, ἅπαξ ἢ οὐδ' ἅπαξ κατήρχετο· πλὴν ὅτε κατήρχετο, οἴδημα μὲν ἐποίει, ἀλλὰ παντάπασιν ἀμυδρόν, καὶ ὅσον μηδ' ἔχειν τοὺς θεωμένους εἰκάζειν, ἢν μή τις ἔτυχε περιεργότερον ἐπιστήσας τοὺς ὀφθαλμούς· ἐγὼ δὲ ἀφροντίστως εἶχον· καὶ ἦν μοι διὰ σπουδῆς οὐδὲν μεριμνᾶν περὶ τούτου· ἅμα μὲν τῷ τὴν γένεσιν διὰ μακρᾶς περιόδου συμβαίνειν, ἅμα δὲ καὶ τῷ μηδὲν οὐδαμῶς φροντίδος ἄξιον τὸ γινόμενον καταφαίνεσθαι. Τί οὖν; ὁδῷ βαδίζων ὁ χρόνος προὔβαινε, καὶ τὸ δεινὸν ὥσπερ αἱ τῶν δένδρων ῥίζαι ἐκραταιοῦτο τῷ χρόνῳ, πρὸς ἐπικράτειαν χωροῦν ἐξ ἀσθενεστέρου, καὶ μεῖζον γινόμενον ἐκ φαύλου καὶ εὐτελοῦς τὸ φαινόμενον· καὶ ἐλύπει μὲν ἐμὲ—καὶ πῶς γὰρ οὐκ ἔδει;—οὕτω μὲν συχνὰ καταρρέον, οὕτω δὲ καὶ πολεμίαν ἐμοὶ λαμβάνον ἐπίδοσιν. Τέως γε μὴν ἀνεκτότερον πολλῷ ἐποίει ἔχειν ἡμᾶς, ἢ τὸν ἄρτι καιρόν· νυνὶ γὰρ ὥσπερ φιλονεικοῦν τὸ τοιοῦτον ταῖς ὥραις συμπαρεκτείνεσθαι, ἔτι μᾶλλον προϊόντος τοῦ χρόνου, ἐπεὶ καὶ ἀκάθεκτός ἐστι ῥέων, τῇ κινήσει τῆς σφαίρας παρυφιστάμενος, λαμβάνει ἐπίδοσιν ὡς οὐκ ὤφειλε· καὶ γεννᾶται ὁτὲ μὲν διὰ πεντεκαίδεκα, ὁτὲ δὲ δι' ὀκτώ· ἔστιν ἐν ᾧ καιρῷ καὶ δι' ἕξ, ὥσπερ τρὶς ἤδη ταῖς νῦν ἡμέραις ἔχω τοῦτο ἰδών· γεννᾶται δὲ οὐ κατὰ τὸν εἰθισμένον ἄνωθεν τρόπον, ὀδύνης ἄτερ καὶ ἄλγους—ἢ γὰρ ἂν καὶ ἧττον ἦν λυπηρὸν—ἀλλὰ καὶ μετὰ τὸ λυπῆσαι τὸ σῶμα· ἀλλὰ καὶ ὥσπερ ἡ γένεσις αὐτοῦ διάφορος οὖσα φαίνεται τῇ προτέρᾳ, οὕτω δὴ καὶ ἡ ἀποκατάστασις· πρώην μὲν γὰρ ἅπαξ ποτὲ χρόνου γινόμενον, καὶ τὸν ὄγκον ὑπάρχον, ὡς ἔφην, βραχύτατον, ῥᾳδίως αὖθις ἑωρᾶτο διαλυόμενον· ποῖ χωροῦν, καὶ ποῖ μεταβαῖνον οὐκ οἶδα, πλὴν ἐχώρει καὶ διελύετο· νυνὶ δὲ τοὐναντίον ἅπαν· γεννᾶται μὲν συνεχῶς, ἀποκαθίσταται δὲ χρονίως, τοῦ τῆς γενέσεως χρόνου τοὐναντίον κατὰ τὸ ἀνάλογον ἐχούσης τῆς ἀποκαταστάσεως. Καὶ δῆλόν ἐστι λοιπὸν ἐπὶ τὸ χεῖρον ἔτι προκόψον, καὶ ζημιῶσον τῶν μεγίστων αὐτούς, ἂν μή τις γένηται παρὰ Θεοῦ ἐποχή, τοῦ εἴτε ῥεύματος χρὴ λέγειν, εἴθ' ὕλης δριμείας, εἴτε χυμοῦ, εἴθ' ὅπως δήποτε ἰατροῖς ἀνδράσι φίλον κάλεῖν·

ἐφ' οἷς ἐγώ, ἐπειδήπερ καὶ πλεῖστον μικροψυχίας μετέχω, φέρω μὲν οὐδαμῶς, ἀνιῶμαι δὲ καὶ δυσχεραίνω, καὶ δυσκολαίνω πρὸς τοὺς ὁρῶντας, καὶ ἀποστρέφομαι ἥν τις ὁμιλῆσαι ἐθέλοι, καὶ καλῶς λέγω τὸν βίον, τὴν ζωήν, τὸν κόσμον· καὶ ταῦτα πάντα πάσχω, ἢ ποιῶ, ἢ οὐκ οἶδα πῶς ἄλλως χρὴ λέγειν, ἄνευ τοῦ μηδὲν δυνηθῆναι πρᾶξαι πρὸς θεραπείαν. Ἐπὶ τούτοις τί χρὴ ποιεῖν; τίς τρόπος ἀπαλλαγῆς; πῶς ἂν γένοιτο εὐδαιμονίσαι ποτὲ οὕτως ἔχοντα ἄνθρωπον; δυστυχῆσαι μὲν τ' ἂν πολὺ πρότερον ἢ εὐδαιμονίσαι. Ἔγωγε μέντοι εἰ μὴ ἦν ὀφθαλμῶν πέρι καὶ ὀδόντων φοβεῖσθαι, οὓς ἔσχον οὕτως ἐρρωμένους τῷ πρώην, νυνὶ δὲ τοὺς μὲν χαύνους καὶ πολὺ καταστάζοντας τοῦ δακρύου, τοὺς δ', ὡς εἰκός, εὐπεριτρέπτους καὶ εὐκλονήτους ἐκ τῆς κατὰ τὸ κρανίον ἀνωμαλίας, ἢ ἵν' εἴπω τὸ μεῖζον, εἰ μὴ ἦν δεδιέναι περὶ αἰφνιδίου τελευτῆς, ὁποῖα συμβαίνειν εἰώθει ἐπὰν τοῦ φάρυγγος καταρρεύσῃ τὸ τοιοῦτον ὑγρόν, λόγος γὰρ καὶ τοῦτο ἰατρικὸς ἀληθινὸς ὃς πολλάκις μοι παρὰ πολλῶν ἀκουσθεὶς περίφοβον δείκνυσι, εἰ μὴ τὰ τοιαῦτα ἦν, τίς ἂν ἦν τοῦ οἰδήματος λόγος; ἀπεκρύβην ἂν ἐξ ὀφθαλμῶν τῶν πολλῶν γεγονώς, καὶ ἀπεθέμην ῥᾳδίως σὺν οὐδεμιᾷ λύπῃ ψυχῆς καὶ τὴν τιμήν, καὶ τὴν προκοπήν, καὶ τὴν εὐδοκίμησιν, καὶ ὅσα ὑμεῖς λέγετε ἢ ἀκούετε ἐκεῖθεν ἐπισυμβαίνειν, οὗ καθ' ἡμέραν σχολάζετε, καὶ διῆγον ὅπως ποτὲ δυνατὸν ἦν κατ' ἐμαυτόν, ἐκκλίνων ἅμα καὶ τὰς τῶν ὁρώντων ὄψεις, καὶ τὴν ἐκ τοῦ θεᾶσθαι αἰσχύνην· οἷς γὰρ οὐκ ἦν ὁρᾶσθαι οὐδ' αἰσχύνεσθαι ἔχοντα ἐπισυνέβαινεν ἄν· νυνὶ δὲ πρόσεστί μοι καὶ δεδιέναι τὸν περὶ ψυχῆς, ὁποῖά με οἱ ὁρῶντες ἐκδειματοῦσι, καὶ μάλιστα οἱ τῆς ἰατρικῆς ἐπιστήμονες, καὶ τὴν αἰσχύνην οὐκ ἀποδιδάσκειν. Γέγραφα ταῦτα πρὸς σὲ βουληθείς μου τὴν ἔνδον λύπην ῥαΐσαι μικρόν· εἰώθει γὰρ αὕτη διὰ τῆς ἐξαγγελίας ὥσπερ ῥεῦμα ἐκκενουμένη, ἀνακούφισιν τῶν ἐν τῇ καρδίᾳ δυσχερῶν ἀπεργάζεσθαι· σὲ δὲ ἰατρικὸν οὐκ οἶδα ὥστε δεηθῆναί σου εἴ τι δύνασαι βοηθῆσαι· οἶδα δέ σε φίλον ὄντα ἐμόν· εἰ δὲ μὴ μέγα εἰπεῖν, καὶ ἀδελφόν. Γινώσκω δὲ καὶ τὸν Ἀκτουάριον, τῶν σῶν ὄντα

φίλων, ἢ γινώσκω σὲ τῶν φίλων ὄντα τοῦ Ἀκτουαρίου· ὅπως ποτὲ γὰρ βουλομένῳ σοι ἔστιν ἀκούειν οὐ διαφέρει μοι· τἀνδρὶ γὰρ εἰ ἐντύχῃς, ἐκ συμβάματος δὲ πλήν, καὶ οὐχὶ ἔργον ποιήσας τὸ προσελθεῖν, τάχα δυνηθῇς βοηθῆσαι ἡμῖν, ἐκεῖνον μὲν ἀναμνήσας τῶν κατ' ἐμὲ—ἔτυχε γὰρ καὶ πρώην ἀκούσας— ἐμοὶ δὲ τὰ παρ' ἐκείνου διαπορθμεύσειν· ἐγὼ γὰρ ὡς ἔχω βαδίσαι πρὸς ἐκεῖνον οὐ βούλομαι, ἵνα μὴ μεταξὺ βαδίζων πάντων μεταστρέφω πρός με τοὺς ὀφθαλμούς, ἐκ τοῦ καινότερόν τι θέαμα δεικνύναι τὸ πρόσωπον. Φιλεῖ γὰρ ἅπας ἀνθρώπων τὰ μὲ συνήθη τῶν ὁρωμένων ὡς προσκορῆ παρατρέχειν, τοῖς δὲ καινοτέροις ἀκρατῶς ἐπιβάλλειν τὰς ὄψεις· καὶ οὐκ ἔστιν ὅπως οὐ περιεργότερον τοῖς τοιούτοις προσχεῖν ἐθελήσειεν.

Ἀνακήρυξις τῆς εὐσεβείας αὐτοῦ παρὰ τῶν ὑποσχομένων αὐτῷ.

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν ὅτι οὐδέποτε κακὴν ὑπόληψιν ἔσχομεν περὶ τοῦ δεσπότου ἡμῶν τοῦ πατριάρχου κυροῦ Γρηγορίου, ὡς ἔστι βλάσφημος, καθάπερ τοῦτό τινες τῶν ἀμυήτων ὑπέλαβον· ἀλλ' ὀρθοδοξότατον τοῦτον γινώσκομεν καὶ εὐσεβέστατον· μόνον δεόμεθα τὸν πατριαρχικὸν παραιτήσασθαι θρόνον διὰ τὴν τῶν ἀνθρώπων εἰρήνην. Καὶ ἐπειδὴ παρ' ἡμῶν ζητεῖ τὴν τῆς εὐσεβείας αὐτοῦ ἀνακήρυξιν ἔγγραφον γενέσθαι, καὶ αὐτίκα κατανεύει τὸν θρόνον παραιτήσασθαι, ζητοῦμεν καὶ ἡμεῖς τινα ἀσφάλειαν πρότερον γενέσθαι παρ' αὐτοῦ. Καὶ εἰ τοῦτο γένοιτο, αὐτίκα καὶ ἡμεῖς πάντες ἕτοιμοι ἐν ὀνόματι τοῦ Χριστοῦ καὶ ἐγγράφως καὶ ἀγράφως παρρησίᾳ τε καὶ ἰδίᾳ τοῦτον, ὥσπερ καὶ τὸν ἅπαντα χρόνον ἦν, εὐσεβέστατον κηρύττειν καὶ ὀρθοδοξότατον, ἐπιτιμᾶν δὲ καὶ τοῖς ἀφρόνως καὶ ἀμαθῶς κατ' αὐτοῦ λέγουσιν.
